## ΤΟΥ ΑΥΤΟΥ [ΓΕΝΝΑΔΙΟΥ ΤΟΥ ΣΧΟΛΑΡΙΟΥ]

# ΠΕΡΙ ΤΩΝ ΑΓΓΕΛΩΝ

### ΠΡΟΣ ΤΗΝ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ ΓΝΩΜΗΝ ΑΝΤΙΦΕΡΟΜΕΝΟΝ *

Ὁ θεός, φῶς ὂν ἀκρότατον καὶ ἀδιάδοχον, ὑπέστησε τοὺς ἀγγέλους φῶτα δεύτερα, τοῦ πρώτου φωτὸς ἀπαυγάσματα κατὰ τὸν Θεολόγον Γρηγόριον, οὐκ αὐτὸ κατ' οὐσίαν ὅπερ εἰσὶ φῶς ὄντας, ἀλλ' ἐκ τῆς θείας ἐλλάμψεως τὸν φωτισμὸν δεχομένους ὃν τρόπον, ὡς ἐπὶ παραδείγματος φάναι, τὸ φῶς ἡ σελήνη παρὰ τοῦ ἡλίου δέχεται, σῶμα ἀφώτιστον οὖσα δεκτικὸν φωτός. Καὶ τοῦτο δηλοῖ πρῶτον μὲν ἐξ αὐτῆς τῆς εἰρημένης τοῦ Θεολόγου φωνῆς· εἰ γὰρ ἀπαυγάσματα τοῦ πρώτου φωτός εἰσι, δῆλον ὅτι παρ' αὐτοῦ τὸν φωτισμὸν ἔχουσιν· ἔπειτα καὶ ἐξ ὧν ἐν ἑτέροις φησὶν ὁ αὐτὸς Θεολόγος· Βουληθεὶς γὰρ ὁ θεὸς ἐξ ἀρχῆς τόνδε τὸν κόσμον ὑποστήσασθαι, τὸν ἐξ ὁρατῶν τε καὶ ἀοράτων συνεστηκότα, τοῖς μὲν ἀϊδίοις αὐτός ἐστι φῶς καὶ οὐκ ἄλλο· τί γὰρ ἔδει φωτὸς δευτέρου τοῖς τὸ μέγιστον ἔχουσι; Καὶ ἐν ἑτέροις αὖθις· δεύτερον φῶς ἄγγελος, τοῦ πρώτου φωτὸς ἀπορροή τις ἢ μετουσία, τῇ πρὸς αὐτὸν νεύσει καὶ ὑπουργίᾳ τὸν φωτισμὸν ἔχουσα, οὐκ οἶδα εἴτε τῇ τάξει τῆς στάσεως μεριζομένη τὸν φωτισμόν, εἴτε τοῖς μέτροις τοῦ φωτισμοῦ τὴν τάξιν
φ 58β λαμβάνουσα. || Σύμφωνα δὲ τούτοις εἰσὶ καὶ τὰ παρὰ τῶν λοιπῶν διδασκάλων, τοῦ μὲν θείου Διονυσίου λέγοντος ἐν τῷ ιγῳ Περὶ τῆς οὐρα-

* Περιλαμβάνεται ἐν τῷ ὑπ' ἀρ. 1292 κώδικι τῆς Ἐθνικῆς βιβλιοθήκης Παρισίων, αἰῶνος ιε', φ. 58α-62α. Ἴδε ἀνωτέρω σ. η'. Ὅτ' ἔγραφον τὴν σελίδα ἐκείνην, δὲν εἶχον ἀκόμη λάβει ἐκ Παρισίων τὰς φωτογραφίας τῶν φύλλων τοῦ κώδικος 1292, ἐξ ὧν ἐκδίδω ἐνταῦθα τὴν κατ' Ἀργυροπούλου Περὶ ἀγγέλων συγγραφήν, ἣν ὁ κῶδιξ ἐκεῖνος προσγράφει εἰς Γεννάδιον τὸν Σχολάριον. Διεξερχόμενος δ' αὐτὴν ὁ ἀναγνώστης θέλει ἴδει, ὅτι εἶνε ἀναμφηρίστως αὐτὴ ἐκείνη ἡ ὑπ' ἄλλην ἐπιγραφὴν περιεχομένη ἐν τῷ κώδικι Εἰκοσιφοινίσσης 192, περὶ ἧς ἐποιησάμην λόγον ἐν τῇ αὐτῇ σ. η', ἡ ἐν αὐτῷ ἀποδιδομένη εἰς Μᾶρκον τὸν Εὐγενικόν. Εἰς αὐτὸν δὲ τοῦτον ἀποδίδεται καὶ ἐν τῷ κώδικι 410 τοῦ Βατοπεδίου, γεγραμμένῳ τὸν ιε' αἰῶνα. Ἴδε ***Ἰάσονα Βατοπεδινὸν*** ἐν τῷ περιοδικῷ Σωτῆρι Τόμ. ΙΒ' (1889) σ. 236 ἐν σημ.

3. ὅπέρ εἰσι 5. φᾶναι 7. φωτὸς εἰσὶ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

νίου ἱεραρχίας Ἔστι μὲν οὖν ἅπασι τοῖς φωτιζομένοις ἀρχὴ τοῦ φωτίζεσθαι θεὸς φύσει καὶ ὄντως καὶ κυρίως ὡς φωτὸς οὐσία καὶ αὐτοῦ τοῦ εἶναι καὶ ὁρᾶν αἴτιος. τοῦ δὲ Δαμασκηνοῦ ἐν τῷ ιηῳ τῶν Θεολογικῶν περὶ τῶν αὐτῶν Φῶτα δεύτερα νοερὰ ἐκ τοῦ πρώτου καὶ ἀνάρχου φωτὸς τὸν φωτισμὸν ἔχοντα, κατ' ἀναλογίαν τῆς ἀξίας καὶ τῆς τάξεως τοῦ φωτισμοῦ καὶ τῆς χάριτος μετέχοντες, ὁρῶντες θεὸν κατὰ τὸ ἐφικτὸν καὶ ταύτην τρυφὴν ἔχοντες. Πρὸς τούτοις ἐκ τούτων τὰς ἀφορμὰς λαβὼν ὁ μακάριος Θεοφάνης ὁ ὁμολογητὴς καὶ Γραπτὸς ἐν τοῖς εἰς τοὺς ἀγγέλους ὕμνοις τοιάδε φησὶν ἐν τῷ πρώτῳ κανόνι· Ἔσοπτρα φωτὸς θεαρχικοῦ καὶ τριςηλίου λαμπάδος τὴν ἔλλαμψιν πᾶσαν εἰςδεχόμενα ὡς ἐφικτὸν τὰ τῶν ἀγγέλων τάγματα πρῶτον ἐννοήσας ὁ νοῦς ὁ θεῖος ὑπέστησε. Καὶ αὖθις ἐν τοῖς αὐτοῖς ὁ αὐτός· Οἱ πρόσωπον τὸ σὸν ὁρῶντες ἄγγελοι τὸ κάλλος τὸ ἀμήχανον τὴν ὕπερθεν εὐπρέπειαν ταῖς σαῖς θείαις ἀγλαΐαις ἐκλαμπρύνονται. Σὺ γὰρ αὐτῶν καὶ φῶς ὑπάρχεις, καὶ πάλιν ἄναρχον φῶς σὺ ὑπάρχων, δέσποτα, φωτὸς ἐκλάμψας τοῦ πατρός, τῶν ἀγγέλων τὰς στρατιὰς ‖ φῶτα κατεσκεύασας, ἔσοπτρα δεχόμενα φ. 59α
τὴν ἀστραπήν σου τὴν ἄδυτον.

Εἰ τοίνυν αὐτοὺς ἐξ ἀρχῆς ὁ θεὸς τοιούτους ὑπέστησε κατὰ τοὺς θείους διδασκάλους τούτους, ὡς εἰςδέχεσθαι τὴν ἔλλαμψιν τῆς τριςηλίου λαμπάδο, καὶ τὸ θεῖον ὁρᾶν πρόςωπον καὶ τὸ ἀμήχανον κάλλος, δῆλον, ὅτι καὶ ὁ πρὶν Ἑωςφόρος, εἷς ἐξ αὐτῶν ὑπάρχων, μετεῖχε καὶ αὐτὸς τῆς θείας ἐλλάμψεως καὶ τὸ θεῖον ἑώρα πρόςωπον κατὰ τὸ ἐφικτὸν αὐτῷ. Καὶ τούτῳ συμμαρτυρεῖ πρῶτον μὲν ἡ τοῦ Κυρίου φωνή, λέγοντος ἐν τοῖς Εὐαγγελίοις Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα. Καθάπερ γὰρ ἡ ἀστραπὴ διάττουσα τῶν νεφῶν εὐθὺς ἀποσβέννυται καὶ πρὶν ἐκφανῆναι σχεδὸν τὸ φῶς ἀποβάλλει, τὸν αὐτὸν τρόπον ἐκεῖνος, τραχηλιάσας κατὰ θεοῦ καὶ τῆς μὲν θείας ἐλλάμψεως κόρον λαβών, τῇ δὲ γνώσει παραζεύξας τὴν οἴησιν, ἐξέπεσεν αὐτίκα τῶν δεδωρημένων αὐτῷ καὶ τὸν φωτισμὸν ὃν οὐκ εἶχεν ἔμφυτον ἀλλὰ θεόθεν ἀποβαλών, σκότος διὰ τὴν ἔπαρσιν καὶ γέγονε καὶ ὠνόμασται. Καὶ ταῦτα περὶ αὐτοῦ φησι καὶ ὁ Δαμασκηνὸς Ἰωάννης ἐν τῷ ιθῳ τῶν Θεολογικῶν· Μὴ ἐνέγκας γάρ φησι τόν τε φωτι-

10. φησί

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

σμὸν τήν τε τιμὴν ἣν αὐτῷ ὁ δημιουργὸς ἐδωρήσατο αὐτεξ-
φ. 59β ουσίῳ προαιρέσει ἐτράπη ἐκ τοῦ ‖ κατὰ φύσιν εἰς τὸ παρὰ φύσιν καὶ πρῶτος ἀποστὰς τοῦ ἀγαθοῦ ἐν τῷ κακῷ ἐγένετο.

Τὸ τοίνυν περὶ αὐτοῦ δοξάζειν, ὅτι οὐ μετεῖχε τῆς θείας ἐλλάμψεως, οὐδὲ γνῶσιν εἶχε θεοῦ, οὐδὲν ἄλλο ἐστὶ δοξάζειν ἢ ὅτι ἑτέρας τινὸς φύσεως παρὰ τοὺς ἀγγέλους ὑπῆρχε καὶ ἧττον ἐκείνων εἶχε πολλῷ τῷ μέσῳ, εἴπερ ἐκεῖνοι μὲν ἅμα τῷ ὑποστῆναι τὴν θείαν ἔλλαμψιν ἐκληρώσαντο καὶ τὸν θεὸν ἑώρων ὡς ἐφικτόν, αὐτὸς δὲ ἄμοιρος τούτων ὑπῆρχε, καὶ ταῦτα παρὰ τῷ Προφήτῃ καλούμενος Ἑωσφόρος διὰ τὸ τῆς λαμπρότητος ὑπερβάλλον. Τοῦτο δὲ καὶ τοῖς ἁγίοις ἀντιλέγειν ἐστὶ καὶ τῇ ἐναργείᾳ τῶν πραγμάτων αὐτῇ διαμάχεσθαι. Τὸ γὰρ δοτὸν καὶ ἀποβλητὸν πάντως, καὶ ὅπερ ἔλαβε, τοῦτο καὶ ἀφῃρέθη, δυνάμενος μὲν αὐτὸ φυλάξαι διὰ τῆς προσοχῆς, μὴ φυλάξας δὲ δι' ἀκρασίαν τε καὶ αὐθάδειαν. Ἅμα δὲ καὶ ὑπεραπολογεῖται τῆς ἐκείνου ἐκπτώσεως ὁ τὰ τοιαῦτα κενολογῶν. Εἰ γὰρ ἔλαττόν τι παρὰ τοὺς ἄλλους ἀγγέλους εἶχε καὶ θείας ἐλλάμψεως οὐ μετέσχεν, οὐδὲ γνῶσιν εἶχε θεοῦ, θαυμαστὸν οὐδὲν ἔπαθεν ἐκπεσών. Ἀλλὰ τοῦτό γε οὐκ αὐτὸς ἔπαθε μόνος σὺν τοῖς μετ' αὐτὸν ἀποστάταις, ἀλλὰ καὶ οἱ μετ' αὐτὸν ὑπ' αὐτοῦ σκελισθέντες καὶ τὴν θείαν ἀφῃρέθησαν χάριν καὶ σκότος ἀντὶ φωτὸς
φ. 60α γεγόνασι καὶ πρὸ τῶν ἄλλων ‖ αὐτὸς ὁ Ἀδάμ, περὶ οὗ φησιν ὁ μέγας Βασίλειος ἐν τῷ λόγῳ οὗ ἡ ἐπιγραφὴ Ὅτι οὐκ ἔστιν αἴτιος τῶν κακῶν ὁ θεός· Ἦν ποτε ὁ Ἀδὰμ ἄνω οὐ τόπῳ, ἀλλὰ τῇ προαιρέσει, ὅτε ἄρτι ψυχωθεὶς καὶ ἀναβλέψας πρὸς οὐρανὸν περιχαρὴς τοῖς ὁρωμένοις γενόμενος ὑπεραγαπῶν τὸν εὐεργέτην, ζωῆς μὲν αἰωνίου ἀπόλαυσιν χαρισάμενον, τρυφαῖς δὲ παραδείσου ἐπαναπαύσαντα, ἀρχὴν δὲ δόντα τὴν κατὰ τῶν ἀλόγων καὶ ἀγγέλοις αὐτὸν ποιήσαντα ὁμοδίαιτον καὶ φωνῆς θείας ἀκροατήν, ἐπὶ πᾶσι τούτοις ὑπερασπιζόμενος τὸν θεὸν καὶ ἀπολαύων αὐτοῦ ταχὺ πάντων ἀναπλησθεὶς καὶ οἷον ἐξυβρίσας τῷ κόρῳ τὸ τοῖς σαρκίνοις ὀφθαλμοῖς φανὲν τερπνὸν τοῦ νοητοῦ προετιμήσατο κάλλους, οὐκ ἐξ ἀνάγκης κακός, ἀλλ' ἐξ ἀβουλίας γενόμενος.

Ἀκούεις, ὅτι ταχὺ τῶν ἀγαθῶν ἀνεπλήσθη καὶ τῷ κόρῳ ἐξύβρισε; Τοῦτο οὖν καὶ ὁ διάβολος ἔπαθεν, ἀλλ' οὐκ ἄμοιρος ὑπῆρχε τῶν ἀγα-

13. τὲ 14-15. τατοιαῦτα 16. ἐλάμψεως 17. τοῦτο 20. φησὶν 22. ποτὲ

Ε.Υ.Δ τμ.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2007

θῶν. Τὰ δ' αὐτὰ καὶ ὁ θεῖος Χρυσόστομος ἐν ταῖς εἰς τὴν Γένεσιν ὁμιλίαις φησί. Μετὰ γὰρ τὸ ἐκθέσθαι τὰ τοῦ 'Αδὰμ ῥήματα, ἅπερ εἶπε τὴν γυναῖκα δημιουργηθεῖσαν ἑωρακώς, Πόθεν, φησίν, ἐπῆλθε ταῦτα αὐτῷ φθέγξασθαι; ἢ δῆλον ὅτι ‖ προφητικοῦ χαρίσματος φ. 60β μετέχων πρὸ τῆς παρακοῆς ἅπαντα ταῦτα ἑώρα τοῖς πνευματικοῖς ὀφθαλμοῖς καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος διδασκαλίας ταῦτά φησιν. 'Ο γὰρ μηδὲν τῶν γεγεννημένων εἰδώς, ἐπειδὴ ἤγαγεν αὐτὴν πρὸς αὐτόν φησι· Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. Καὶ ὁ μακάριος Κύριλλος ἐν τοῖς Θησαυροῖς· Τὸ δοθὲν ἐμφύσημα θεῖον τῷ πεπλασμένῳ οὐκ αὐτὴν εἶναί φαμεν τὴν ψυχήν· ἢ γὰρ ἂν ἄτρεπτος ἦν ὡς ἐκ τοιαύτης προελθοῦσα φύσεως· ἀλλὰ τὴν τοῦ ἁγίου Πνεύματος μετουσίαν, ἐντεθεῖσαν ἐξ ἀρχῆς τῇ ἀνθρωπείᾳ ψυχῇ. 'Όθεν καὶ κατ' εἰκόνα θεοῦ τὸ τεχνηθὲν ἐποιήθη ζῶον, ὡς διὰ τῆς μετουσίας τοῦ Πνεύματος πρὸς αὐτὸν μεμορφωμένην.

Εἰ τοίνυν Πνεύματος ἁγίου μετέσχεν ὁ 'Αδὰμ ἅμα τῇ ἐμφυσήσει καὶ προφητικοῦ χαρίσματος ἠξιώθη καὶ τὸν θεὸν αὐτῷ διαλεγόμενον εἶχε καὶ ἐνηχούμενος ὑπὸ τῆς τοῦ ἁγίου Πνεύματος διδασκαλίας ἔλεγεν ἅπερ ἔλεγε καὶ ἄγγελος ἄλλος ἐπὶ τῆς γῆς ὑπῆρχε καὶ θείᾳ δόξῃ πάντοθεν περιέσταλτο, δι' ἣν καὶ τὴν γύμνωσιν οὐχ ἑώρα, τίς ἂν ἔτι τολμήσειε λέγειν, ὅτι οὐδεμιᾶς ἔτυχεν ὁ 'Αδὰμ θείας ἐλλάμψεως, εἰ μὴ τὰ ἐκ τῆς κοιλίας βούλοιτο λέγειν, οὐδὲν τῶν διδασκάλων φροντίζων; ‖ Ἄλλως τε, εἰ μὲν ἀναφαίρετος ἦν ἡ θεία χάρις καὶ ἔλλαμψις καὶ φ. 61α οὐδεὶς ἀπέβαλε ταύτην τῶν ἅπαξ εἰσδεξαμένων, εἶχεν ἄν τινα λόγον τὰ τοιαῦτα καινοτομεῖν. Εἰ δὲ πολλοὶ μὲν προφῆται τὴν προφητικὴν ἀπέβαλον χάριν, πολλοὶ δὲ ἀπόστολοι τῆς ἀποστολῆς ἐξέπεσον καὶ τὴν θαυματουργικὴν ἀφῃρέθησαν δύναμιν, ὁ δὲ ἀρχαῖος ἐκεῖνος δράκων ὁ ἀποστάτης τῷ οὐραίῳ αὐτοῦ κατασύρει τὸ τρίτον μέρος τῶν ἄστρων τοῦ οὐρανοῦ, καθὼς ἐν τῇ 'Αποκαλύψει φέρεται, τῶν πρότερον ἐν ἀρεταῖς δῆλον ὅτι διαλαμψάντων καὶ πνευματικοῖς χαρίσμασι, τί ἔτι δεῖ περὶ τοῦ πρὶν 'Εωσφόρου καὶ τοῦ 'Αδὰμ ἀμφιβάλλειν, εἰ θείας τινὸς ἔτυχον χάριτος καὶ ἐλλάμψεως; Οὐχ ἀκούεις τοῦ Δαυὶδ λέγοντος Τὸ

7. ταῦτα φησὶν 8. αὐτὸν φησὶ 12. εἶναι φαμὲν 14. τὴν κατὰ διόρθωσιν τοῦ τὸ πρῶτον γραφέντος τῆν 22. τὶς 32. δηλονότι

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ, πάντως ὡς δυνάμενον ἀνταναιρεθῆναι; ἀλλ' ἡ μετάνοια συνετήρησεν αὐτῷ τὸ προφητικὸν χάρισμα, καθάπερ οὖν καὶ τῷ Πέτρῳ δακρύσαντι τὴν τῆς ἀποστολῆς χάριν. Ἀλλ' ἆθλον, φησίν, ἡ θεία ἔλλαμψις δίδοται τοῖς καλῶς ἀγωνισαμένοις, ὥσπερ τοῖς Ὀλυμπιονίκαις ὁ κότινος· οὐκ ἆθλον μόνον, ἀλλὰ καὶ χάρις, ἡ δὲ χάρις καὶ πρὸ τῶν ἀγώνων δίδοται. Καὶ εἰ μὲν φ. 61α ἆθλον τῆς περὶ τἀγαθὸν ἐφέσεως λέγεις || καὶ τῆς πρὸς αὐτὸ συντονίας, μέχρι τοσούτου τὸ ἆθλον δίδοται μέχρις ἂν ἡ ἔφεσις διαμένῃ, ταύτης δὲ παυσαμένης ἀφήρηται. Διὰ γὰρ τοῦτο καὶ χάρις ὠνόμασται, συνεργοῦσα τοῖς ἀγωνιζομένοις καὶ παραμένουσα μὲν τοῖς αὐτὴν φυλάττουσι· Χωρὶς γὰρ ἐμοῦ, φησίν, οὐ δύνασθε ποιεῖν οὐδέν· τῶν δ' ἀναξίων ἀφιπταμένη. Εἰ δ' ἄλλο τι τὸ ἆθλον λέγεις, οἷα τὰ ἐπὶ τοῦ μέλλοντος αἰῶνος δοθησόμενα τοῖς ἀξίοις, ἡμεῖς περὶ τῶν ἤδη δεδωρημένων ἢ καὶ ἀφῃρημένων τὸν λόγον ποιούμεθα.

Ἀλλ' Ὁ Μιχαήλ, φησί, καὶ ὁ Γαβριὴλ καὶ τὰ πρώτιστα τάγματα τῆς οὐρανίου ἱεραρχίας ἀκίνητοι μένουσιν ἐν τῷ ἀγαθῷ· πῶς οὖν, εἰ τῶν αὐτῶν ἐκεῖνος αὐτοῖς ἔτυχεν, οὕτω ῥᾳδίως ἐξέπεσεν; Ἐγὼ δέ σοι τοὐναντίον ἐρῶ· πῶς, εἰ μὴ τῶν αὐτῶν ἔτυχε, δικαίως ἂν ἐξέπεσεν; Ἀλλ' ὅτι γε τῶν αὐτῶν ἔτυχε, μάρτυς ὁ μέγας Βασίλειος, ἐν τῷ προειρημένῳ λόγῳ τοῦτ' αὐτὸ κατὰ ῥῆμα φάσκων· Γαβριὴλ ἄγγελος· καὶ παρέστηκεν ἐνώπιον τοῦ θεοῦ διηνεκῶς ὁ Σατανᾶς ἄγγελος καὶ ἐξέπεσε τῆς οἰκείας τάξεως παντελῶς, κἀκεῖνον ἡ προαίρεσις ἐφύλαξεν ἐν τοῖς ἄνω καὶ τοῦτον κατέρριψε τῆς γνώμης τὸ αὐτεξούσιον. Ἐδύνατο γὰρ φ. 62α κἀκεῖνος || ἀποστατῆσαι καὶ οὗτος μὴ ἐκπεσεῖν. Ἀλλὰ τὸν μὲν διεσώσατο τῆς ἀγάπης τοῦ θεοῦ τὸ ἀκόρεστον, τὸν δὲ ἀπόβλητον ἔδειξεν ἡ ἐκ θεοῦ ἀναχώρησις. Ὅρα κἀντεῦθεν, ὅτι οὐχ ἡ τῆς ἐλλάμψεως ἔλλειψις, ἀλλ' ἡ προαίρεσις μόνη καὶ ἡ ἐκ θεοῦ ἀναχώρησις τὴν πτῶσιν αὐτῷ προεξένησε. Τὸ δὲ ἀκίνητον ἐκ τοῦ ἀγαθοῦ τοῖς λοιποῖς ἀγγέλοις τάχει μὲν ἡ ἐκείνου πτῶσις ἐπήγαγεν, ἀσφαλεστέροις, ὡς εἰκός, γενομένοις τῷ φόβῳ. Λόγος δέ τις ἡμᾶς ἐν ἀπορρήτῳ παιδεύει, παρὰ τῶν πατέρων ἡμῶν εἰς ἡμᾶς ἀφιγμένος, μετὰ τὴν τοῦ Κυρίου σάρκωσιν καὶ τὴν τοῦ προσλήμματος θέωσιν καὶ τοὺς ἀγγέλους προσλαβεῖν τὸ ἄτρεπτον καὶ ἀκίνητον κατὰ χάριν, διακόνους γενομένους τῆς ἡμῶν σωτηρίας.

12. ἀλλό 17. εἰς

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

Χάριεν δὲ τοῦ γενναίου σοφιστοῦ κἀκεῖνο, τὸ μακαρίους μὲν ἡγεῖσθαι πάντας ἀγγέλους τε καὶ δικαίους τῇ παρὰ θεοῦ μακαριότητι καὶ ἐλλάμψει, τῇ δὲ ταύτης ἀποτυχίᾳ δυστυχεῖς καὶ ἀθλίους, ἔπειτα τὸν Ἑωσφόρον οἴεσθαι καὶ τοὺς λοιποὺς ἀγγέλους ἀμοίρους τῆς τοιαύτης ἐλλάμψεως ἐξ ἀρχῆς ὑποστῆναι. Δῆλον γὰρ ὅτι κακοδαίμονας αὐτοὺς καὶ ἀθλίους οἴεται ὑποστῆναι. Τοσοῦτον αὐτῷ τοῦ λέγειν περίεστι.

Ἀρκεῖ ταῦτα πρὸς τοὺς μὴ πάντη φιλονείκως ἐνισταμένους.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

2. τὲ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007